τ 353 *πυκινὰ φρεσὶ μήδε' ἔχουσα* (sim. Ω 282. 674) || **82** ex Babr. fab. 130 adhibitis Hesychi *πάγη δέ τις* Cr. coniecit *πάγη δέ τις ῥόπτρωι ἐρειδομένη.* adde Hesych. s. *ῥόπτρον* || **83** cave huc trahas Phaedr. app. 1 de simio nudas nates contegere studente cf. Aesop. 83 Hsr. (44 Halm) de simio rege | *πυγὴν*] *ψυχὴν* olim B. ex Schol. coniecit. attamen re vera in paraphrasi legitur *σὺ δὲ τοιαύτην τὴν τύχην* (v. l. *μοῖραν, μωρίαν*, ubi *τύλην* lectionem primariam fuisse ci. Immisch) *ἔχων τῶν ἀλόγων ζώιων βασιλεύσεις* v. Wil. Gl. 1, 373[4] || **84** cf. Eur. fr. 1110 N.[2] Archilocho tribuit Bl. Fleck. Jbb. 129 (1884), 496 cf. Hi. Jb. 1888, 680 et Wil. Gl. 1, 347 | 'nisi prima erat epodus epodorum libri, praecessit 79s et 81—83' Friedl.; nisi cum Sn. ex Hephaestionis auctoritate carmen a 85 incipere mavis (Phil. 96 [1944], 284), ita ut 81—84 secuta sint 85 || **1** cf. Jo. Tzetz. alleg. Hom. λ 140s || **2** cf. Semon. 1, 1 Sol. 1, 17 || **85 1** *εὖ τι* (*τοι*) 𝔈 em. Bentl. | an *Εὖτε*, si Hephaestionis exempla seligendi morem sequimur? | ad *ἠθρ.* cf. 62 || **2** idem nomen *Batusius* CIL X 6776 (in insula Pontia) cf. Hesych. *Σελληϊάδεω· Σελλέως υἱὸς ὁ μάντις Βατουσιάδης τὸ ὄνομα* et Aristid. II 380 Dind.

86. (93) *τῆι μὲν ὕδωρ ἐφόρει*
δολοφρονέουσα χειρί, θἠτέρηι δὲ πῦρ.

87. (92) *ἐμεῦ δ᾽ ἐκεῖνος οὐ καταπροΐξεται.*

(ΑΙΝΟΣ)

88. (94) *Πάτερ Λυκάμβα, ποῖον ἐφράσω τόδε;*
τίς σὰς παρήειρε φρένας,

δῶι· [2] | cf. Schol. Hephaest. p. 272, 20 C. Epitom. Hephaest. p. 361, 11 C. Schol. Ar. nub. 275 Priscian. gramm. II 411 Sacerd. gramm. VI 512, 14. 517, 15 || **86** [1]Plvt. vit. Demetr. 35, 6 *οὐ μὴν ἀλλὰ καὶ ἡ τύχη καθάπερ ἡ παρ᾽ Ἀρχιλόχωι γυνή·* [1. 2] | cf. [2]prim. frig. 14 p. 950f *ὁ δ᾽ Ἀρχίλοχος ἐπὶ τῆς τὰ ἐναντία φρονούσης οὐ κακῶς εἶπε·* [1. 2] et [3]comm. not. 23 p. 1070a *ἡ δὲ τούτων αἵρεσις ὥσπερ ἡ παρ᾽ Ἀρχιλόχωι γυνή·* [1. 2] || **2** Hesych. *δολοφρονέουσα· δόλια φρονοῦσα. ἀπατῶσα* || **87** Et. Magn. p. 689, 1 *προΐκτης· . . . τινὲς δὲ παρὰ τὸ ἵξεσθαι, δωρεάν τινα λαμβάνειν, ὡς Ἀρχίλοχος·* [1] (Zonar. 1573. 1578 Svid. s. v. *καταπρ.*) | cf. Et. Gvd. p. 305, 3 Anecd. Par. ed. Cram. 4, 55, 12, ubi versu deperdito interpretatio legitur: *οὐ δωρεὰν ἐμοῦ* (*δωρει μου* Anecd. ℭ) *καταγνώσεταί τις, ἀλλὰ ἀποδώσει μισθὸν ὧν ἔπραξε* (*ἔπραξα* Gud. *ἐπράξατο* Anecd. ℭ), cui addita sunt: *οὕτως εὗρον ἐν ὑπομνήματι Ἐπωιδῶν Ἀρχιλόχου* | cf. Orion. 82, 23 St. || **88** Schol. Hermog. Rhet. gr. 7, 820 W. *ἐστὶ δὲ ἀεὶ τὸ ἐπωιδὸν βραχύτερον τοῦ πρὸ αὐτοῦ στίχου συλλαβὰς τέσσαρας, οἷον στίχος μὲν ὁ πρῶτος ἤγουν στροφὴ ἤτοι κῶλον· οἷον·* [1], *εἶτα τὸ ἐπωιδόν·* [2], *εἶτα ἀντίστροφος ἤτοι κῶλον·* [3], *εἶτα πάλιν ἐπωιδόν·* [4] | Hepaest. *π. ποιημ.* 7, 2 p. 71 C. *εἰσὶ δὲ ἐν τοῖς ποιήμασι καὶ οἱ ἀρρενικῶς οὕτω καλούμενοι ἐπωιδοί, ὅταν μεγάλωι στίχωι περιττόν τι ἐπιφέρηται οἷον·* [1. 2] *καὶ ἔτι* [85, 1. 2] | Mar. Victorin. gramm. VI 170, 5 *similes sunt Archilochiis illis* [1. 2] | ad v. **1** cf. Schol. in Heph. p. 262, 10s 267, 10s 282, 14 C. ibid. app. p. 312, 10 Sacerd. gramm. VI 518, 5. 522, 6 Ivbam ap. Rvfin. gramm. VI 561, 13 | ad v. **2** cf. Demetr. *π. ἑρμ.* 5 Schol. Ar. ran. 384 Schol. Pind. Pyth. 5 p. 171 Dr. 6 p. 192. 7 p. 201

86 1 *ἐφόρει* om. Plut.[3] || **2** *δολ.* Hom. (*I* 480) Hes. | *τῆι δ᾽ ἑτέρηι* Plut.[1] *ἑτέρηι* om. Plut.[3] *τἠτέρηι* Schnw. || **87** cf. Hesych. s. *καταπροϊξάμενος* et 130 B.[4] *προτείνω χεῖρα καὶ προΐσσομαι* et *ρ* 352 *ἀνδρὶ προίκτηι* (sim. 449) || **88** fabulae (89ss) initium esse coniecit Cr. (RhM. 49 [1894], 299ss) conl. Ar. av. 649ss cf. Bahntje 39 || **1**ss cf. 45 et Catull. 40 || **1** cf. Hor. epod. 6, 13 epist. 1, 19, 25. 30 Lucian. Pseudolog. 1, 2 || **2** cf. 58, 5 || **2**s *κ* 553

ᾗς τὸ πρὶν ἠρήρεισθα; νῦν δὲ δὴ πολὺς
ἀστοῖσι φαίνεαι γέλως.

88 A. (143) *τέττιγα δ᾽ εἴληφας πτεροῦ*

89. (86) *αἶνός τις ἀνθρώπων ὅδε,*

88 A Lvcian. Pseudolog. 1, 1 *τὸ δὲ τοῦ Ἀρχιλόχου ἐκεῖνο ἤδη σοι λέγω, ὅτι τέττιγα τοῦ πτεροῦ συνείληφας· εἴπερ τινὰ ποιητὴν ἰάμβων ἀκούεις Ἀρχίλοχον, Πάριον τὸ γένος, ἄνδρα κομιδῆι ἐλεύθερον καὶ παρρησίαι συνόντα, μηδὲν ὀκνοῦντα ὀνειδίζειν, εἰ καὶ ὅτι μάλιστα λυπήσειν ἔμελλεν τοὺς περιπετεῖς ἐσομένους τῆι χολῆι τῶν ἰάμβων αὐτοῦ. ἐκεῖνος τοίνυν πρός τινος τῶν τοιούτων ἀκούσας κακῶς τέττιγα ἔφη τὸν ἄνδρα εἰληφέναι πτεροῦ εἰκάζων ἑαυτὸν τῶι τέττιγι ὁ Ἀρχίλοχος, φύσει μὲν λάλωι ὄντι καὶ ἄνευ τινὸς ἀνάγκης, ὁπόταν δὲ καὶ τοῦ πτεροῦ ληφθῆι, γεγωνότερον βοῶντι. καὶ σὺ δέ, ἔφη, ὦ κακόδαιμον ἄνθρωπε, τί βουλόμενος ποιητὴν λάλον παροξύνεις ἐπὶ σεαυτόν, αἰτίας ζητοῦντα καὶ ὑποθέσεις τοῖς ἰάμβοις; ταῦτά σοι καὶ αὐτὸς ἀπειλῶ οὐ μὰ τὸν Δία τῶι Ἀρχιλόχωι εἰκάζων ἑαυτόν—πόθεν; πολλο ὗγε καὶ δέω—· σοὶ δὲ μυρία συνειδὼς ἰάμβων, ἄξια βεβιωμένα, πρὸς ἅ μοι δοκεῖ οὐδ᾽ ἂν ὁ Ἀρχίλοχος αὐτὸς διαρκέσαι, προσπαρακαλέσας καὶ τὸν Σημωνίδην καὶ τὸν Ἱππώνακτα συμποιεῖν μετ᾽ αὐτοῦ κἂν ἕν τι τῶν προσόντων σοι κακῶν. οὕτω σύ γε παῖδας ἀπέφηνας ἐν πάσηι βδελυρίαι τὸν Ὀροδοικίδην καὶ τὸν Λυκάμβην καὶ τὸν Βούπαλον, τοὺς ἐκείνων ἰάμβους* || **89** Ammon. ed. Val. p. 6 *αἶνος καὶ παροιμία διαφέρει· ὁ μὲν γὰρ αἶνός ἐστι λόγος κατὰ ἀναπόλησιν μυθικὴν ἀπὸ ἀλόγων ζώιων ἢ φυτῶν πρὸς ἀνθρώπους εἰρημένος, ὥς φησι Λουκί⟨λλ⟩ος Ταρραῖος ἐν πρώτωι Παροιμιῶν, οἷον ἀπὸ μὲν ἀλόγων ζώιων, ὡς παρ᾽ Ἀρχιλόχωι·* [1—3] *καὶ τὰ ἑξῆς* | idem Ps.-Diogenian (Lvcill. Tarrh.) *π. παροιμιῶν* praef. I p. 178 Gott. | Et. Gvd. p. 19, 22 | Evst. in Il. 855, 4 [1—3] in Od. 1768, 61 [1—3] | Schol. *ξ* 508 *Ἀρχίλοχος δὲ λέγει·* [1—3] | Anecd. Par. ed. Cram. 3, 371, 13 [2. 3] | Apollon. Dysc. de dubit. p. 490 B. 224 Schn. [2] | hoc carmen respiciunt

φρεσὶν ἧισιν ἀρηρώς || **3**s cf. Soph. Oed. C. 902s Semon. 7, 73s Callim. 195, 30 Pfei. (*ἅ μή με ποιήσηις γέ*[*λω*]) || **88 A** dimetr. iamb. restituit cum B. Wil. cf. H. Diels H. 23 (1888), 279s, propter argumenti similitudinem huc traxit Kroll ad Catull. 40 cf. Wil. H. 59 (1924), 271, qui ex Constantino Rhodio poeta ap. Matranga Anecdota 2, 628 *ἐπεὶ πτερῶν τέττιγος ἐδράξω τάλαν* et *ὡς ἂν μάθηις, κακοῦργε, μὴ κινεῖν μάτην εὕδοντ᾽ ἐμὸν τέττιγα τὸν Μούσαις φίλον* dimetrum restituit *τέττιγος ἐδράξω πτερῶν* adsentitur Körte Gn. 15 (1939), 489s || **89**ss cf. Cr. apud Kleukens Buch der Fabeln (Lips. 1913) p. XIss || **89 1** Moschion. fr. trag. 8 p. 815 N.[2] *ἦν ἆρα τρανὸς αἶνος ἀνθρώπων ὅδε* cf. Hes. op. 202 | ad *ξυνωνίην* cf. 92 test.

ὡς ἄρ' ἀλώπηξ καἰετὸς ξυνωνίην
ἔμειξαν.

90. (38) *προύθηκε παισὶ δεῖπνον αἰηνὲς φέρων.*

91. (109) *ὥς δ' ἂν σε θωϊὴ λάβοι*

***92 a.** (*87) *'ὁρᾶις ἵν' ἔστ' ἐκεῖνος ὑψηλὸς πάγος*
τρηχύς τε καὶ παλίγκοτος;

Schol. Hom. Town. *T* 407 Philostr. imag. p. 381 (298 K.) Hermog. progymn. 1 p. 1 R. Schol. Ar. av. 651 Prisc. gramm. II 430, 6 K. cf. Aesop. 1 Hsr. (5 Halm) Phaedr. 1, 28 et ad fr. 88 || **90** Et. Magn. 32, 26 *αἰηνές· τὸ δεινὸν καὶ πολύστονον· Ἀρχίλοχος·* [1] | Hesych. *προύθηκα· προέθηκα* et *ἀῆνες· ἀίδιον. λάβρον. ἄθλιον* et *αἰῆνες· αἰώνιον. βλαβερόν* || **91** Et. Magn. 26, 23 *ἀθῶιος· ἀζήμιος· ἔχει δὲ τὸ 'ι' ἐκ παραδόσεως, ἐπειδὴ εὕρηται θωϊὴ ὡς παρ' Ἀρχιλόχωι·* [1] | cf. Herodian. *π. καθολ. προσωιδ.* I 128, 14s L. Eust. in Od. 1441, 1 | idem versus [*ὥς*] *δ' ἂν σε θωϊὴ λάβοι* una cum glossemate m.² *ζημία* resurrexit e pap. Oxyrh. in Callimachi epodo (fr. 195, 22 Pfei.), cuius de carminis auctore post M. Norsa et Hieron. Vitelli, editores principes (AteR. Ser. 3, 1 [1933], 1ss 'Frammenti di Archiloco'), disputaverunt G. Pasquali (St. It. Fil. Cl. N. S. 10 [1933], 169ss 'Archiloco o Callimaco') et Pfei. (Phil. 88 [1933], 265ss 'Ein Epodenfragment aus dem Iambenbuche des Kallimachos') cf. Maas Gn. 10 (1933), 438 Stroux Phil. 89 (1934), 318. | Pap. Oxyrh. s. I p. Chr. Pap. Gr. e Lat. XI 1216 p. 123ss (127 v. 32) G. Coppola St. It. Fil. Cl. 10 (1933), 165ss || **92** Atticvs ap. Euseb. praep. 15, 795a [**a** 1—3]· *ἐπὶ τοῦτον τὸν ὑψηλὸν πάγον τὸ δριμὺ καὶ πανοῦργον ἐκεῖνο θηρίον ἀνελθεῖν ἀδύνατον· ἵνα δὲ εἰς ταὐτὸν ἔλθηι τοῖς ἀετοῦ γεννήμασιν ἀλώπηξ, ἢ τύχηι τινὶ δεῖ χρησαμένους ἐκείνους πονηρᾶι καταπεσεῖν εἰς γῆν τῶν οἰκείων αὐτοῖς φθαρέντων, ἢ φύσασαν αὐτήν, ἃ μὴ πέφυκε φύειν, λαιψηρὰ κυκλῶσαι πτερά, ταύτηι καὶ οὕτως ἀρθεῖσαν ἐκ γῆς ἀνίπτασθαι πρὸς τὸν ὑψηλὸν πάγον. ἕως δ' ἑκάτερον ἐπὶ τῆς*

3 *ἔμιξαν* Diogen. Rhet. Schol. Od. *ἔθεντο* Ammon. reliq. *ἔμιξαν ἢ καθ' ἑτέραν γραφὴν ἔθεντο* Eust. Od. || **90** huic fabulae adscripsit Schnw. | apponit aquila catulos volpinos | ad *αἰ.* cf. Kai. Soph. El. 153s || **91** ad *θ.* cf. *N* 669 *β* 192 et Hesych. *θωή· ζημία. βλάβη* | minatur et exsecratur volpes: *χερσαία γὰρ οὖσα πτηνὸν διώκειν ἠδυνάτει* (cf. Schol. Rav. Ar. av. 651) || **92 a** Archilocho vindicavit Mein. **b** subiunxit ex Eusebio et ex. gr. restituit D. | aquilae verba deridentis || **a 1** Hesych. *πάγος· ὄχθος. βουνός* || **2** Pind. Nem. 4, 96 *τραχὺς δὲ παλιγκότοις ἔφεδρος* Sapph. 108 *οὐκ ἔμμι παλιγκότων ὄργαν*

ἐν τῶι κάθημαι σὴν ἐλαφρίζων μάχην.

. . . .

b. *λαιψηρὰ κυκλῶσαι πτερά*

93. (110) *μή τευ μελαμπύγου τύχηις.*

94. (88) *'ὦ Ζεῦ πάτερ Ζεῦ, σὸν μὲν οὐρανοῦ κράτος,*
σὺ δ' ἔργ' ἐπ' ἀνθρώπων ὁρᾶις
λεωργὰ καὶ θεμιστά, σοὶ δὲ θηρίων
ὕβρις τε καὶ δίκη μέλει.'

94 A. (126) *πυρὸς δ' †ἦν αὐτῶι φεψάλυξ*

οἰκείας μένηι τάξεως, οὐκ ἔνι κοινωνία τοῖς γῆς πρὸς τὰ οὐρανοῦ θρέμματα || **b 1** Plvt. de garrul. 10 p. 507a (*λόγος ἐκ τοῦ στόματος προέμενος*) *φέρεται λαιψηρὰ κυκλώσας πτερὰ δι' ἄλλων ἐπ' ἄλλους σκιδνάμενος* | amat. 3 p. 750b *ὁ δὲ σὸς* (*Ἔρως*) *ἐκ Κιλικίας Ἀθήναζε λαιψηρὰ κυκλώσας πτερὰ 'διαπόντιος πέταται', τοὺς καλοὺς ἐφορῶν καὶ συμπλανώμενος* | cf. Callim. com. Berenic. 53s || **93** Schol. Venet. 453 *Ω* 315 *εἴωθε δὲ καὶ ὁ Ἀρχίλοχος μελάμπυγον τοῦτον* (*τὸν ἀετὸν*) *καλεῖν· ἤ τευ μελ. τ.* | Hesych. *μή τευ μ. τύχοις· μή τινος ἀνδρείου καὶ ἰσχυροῦ τύχοις* (*Ἡρακλέους*) | Tzetz. in Lycophr. 91 *μελάμπυγοι, πύγαργοι· εἴδη ἀετῶν κατ' Ἀρχίλοχον* (189 B.⁴) | cf. Svid. s. v. *μελ.* et Zenob. 5, 10 *μὴ σύ γε μελ. τύχοις* || **94** Stob. 1, 3 (*π. δίκης κτλ.*), 34 p. 58 W. *Αἰσχύλου* **FP** in marg., sed 35 **F** in marg. *Ἀντιλόχου*, quod in *Ἀρχιλόχου* mutandum (cf. Callim. fr. 544 Pfei.) et huc referendum docet Clem. Alex. strom. 5, 127, 1 p. 412 St.² *τοιαῦτα καὶ ὁ Πάριος Ἀρχίλοχος λέγει· ὦ Ζεῦ, σὸν μὲν . . . ἐπ' ἀνθρώπους ὁρᾶις λ. καὶ ἃ θέμις*, unde Evseb. praep. 13, 687 (*— τε καὶ ἀθέμιστα*) || **94 A** Schol. Ar. Ach. 270 *φέψαλοι γάρ εἰσιν οἱ σπινθῆρες . . . καὶ παρὰ Ἀρχιλόχωι δὲ κεῖται* [1]

3 *ὧι* v. l. | *κάθηται* Atticus qui suae orationi accommodavit | contulit B. Hesych. *ἐλαφρίζων· παρασκευαζόμενος ῥαιδίως* || **b** Euripidi dedit olim B. || **93** volpes aquilam monere videtur Cr. || **94** volpis preces et querellae. ad rem cf. Hirzel Themis 218ss Wil. Gl. 1, 347 || **1** *πάτερ Ζεὺς μὲν* **FP** *σὸν μὲν* Clem. Euseb. | cf. Hippon. 34 Hes. theog. 71 || **2** *ξ* 84 *αἴσιμα ἔργ' ἀνθρώπων* | *ἀνθρώπους* Clem. Euseb. || **3** Hesych. *λεωργόν· κακοῦργον. πανοῦργον* | *λεώλης = πανώλης* contulit Hi. v. G. | *καθέμι(σ)τας οἱ* fere **FP** *τε καὶ ἀθέμιστα* Euseb. *καὶ ἃ θέμις* **L** Clem. em. Liebel ex 4 || **3s** cf. Hes. op. 238s || **94 A** *ἦν*] *ἐν* Sn. Lasserre | agitur de strue et virgultis a volpe accensis, quorum scintillae combusserunt aquilae nidum

95. (96) ὅρκον δ' ἐνοσφίσθης μέγαν
ἅλας τε καὶ τράπεζαν – ⏓ – ⏑ ⏒

---

96. (131) χολὴν γὰρ οὐκ ἔχεις ἐφ' ἥπατι.

97. (107) πάρελθε· γενναῖος γὰρ εἶς.

---

98. (106) πτώσσουσαν ὥστε πέρδικα

***99.** (*108) ναὶ ναὶ μὰ μήκωνος χλόην

100. (111) ἔμπλην ἐμεῦ τε καὶ †ἐφόλου

95 Origen. adv. Cels. 2, 21 K. *τίς γὰρ οὐκ οἶδεν, ὅτι πολλοὶ κοινωνήσαντες ἁλῶν καὶ τραπέζης ἐπεβούλευσαν τοῖς συνεστίοις; καὶ πλήρης ἐστὶν ἡ Ἑλλήνων καὶ βαρβάρων ἱστορία τοιούτων παραδειγμάτων. καὶ ὀνειδίζων γε ὁ Πάριος ἰαμβοποιὸς τὸν Λυκάμβην κατὰ 'ἅλας καὶ τράπεζαν' συνθήκας ἀθετήσαντά φησι πρὸς αὐτόν·* [1. 2] | cf. Dion. Prvs. or. 74, 16 (II 198 Arn.) *τὸν Ἀρχίλοχον οὐδὲν ὤνησαν οἱ ἅλες καὶ ἡ τράπεζα πρὸς τὴν ὁμολογίαν τῶν γάμων, ὥς φησιν αὐτός* | Zenob. 1, 62 cum nota Gott. || **96** Athen. 3, 107f *δασυντέον ⟨δὲ⟩ λέγοντας τὸ ἧπαρ· καὶ γὰρ ἡ συναλοιφή ἐστιν παρ' Ἀρχιλόχωι διὰ δασέος· φησὶ γάρ·* [1] || **97** Athen. 14, 653d *γενναῖα λέγει τὰ εὐγενῆ ὁ φιλόσοφος (Πλάτων), ὡς καὶ Ἀρχίλοχος·* [1] || **98** Athen. 9, 388f *τοῦ δὲ ὀνόματος αὐτῶν (τῶν περδίκων) ἔνιοι συστέλλουσι τὴν μέσην συλλαβὴν ὡς Ἀρχίλοχος·* [1] || **99** Svid. s.v. *ναὶ ναί* et *μὰ μήκωνος χλόην· ὅρκος ἐπὶ χλευασμῶι* || **100** Apollon. Soph. lex. Homer. 67 *ἔμπλην· ἐμπελάδην σύνεγγυς ἢ ὡς ἔνιοι 'χωρίς'. καὶ Ἀρχίλοχος ἐπὶ τοῦ 'χωρίς'·* [1] | Schol. Nic. Ther. 322 *παρὰ Ἀρχιλόχωι ('ἔμπλην' ἀντὶ τοῦ 'χωρίς', οἷον)·* [1] *καὶ τὰ ἑξῆς*

95 aquilae et volpis fabulae epilogum esse olim coniecerat Cr. || **1** *ὅ. μ.* Hom. || **2** contulit Wil. H. 59 (1924), 270s Heliodor. 6, 2 *πρὸς ἁλῶν καὶ τραπέζης* adde RE I A 2092, 40ss || **96** de cervo (Schol. Hom. *A* 224. cf. Plin. nat. 11, 192 Arist. hist. anim. 2, 15 p. 506a 24) dixerat Archilochus in fabula leonis, cervi, volpis (Babr. 95) cf. Lasserre Mus. Helv. 5 (1948), 9s qui verbum *πρόξ* (188 B.⁴) huc traxit coll. Arist. part. an. 676b 25 || **97** volpeculae verba in fabula leonis cervum invitantis cognovisse sibi videtur B. || **98** de cervo in fabula leonis? cf. Lasserre l. c. 9 || **99** Archilocho dedit B. | cf. Athen. 9, 370b Hippon. 40 Anan. 3, 2 cum adn. RE XV 2445s H. Kleinknecht Gebetsparodie p. 85 | verba volpeculae cervum mitigantis? cf. Babr. 95, 83 Lasserre l. c. 10; || **100** aliter *B* 526 *Βοιωτῶν δ' ἔμπλην* | Hesych. *ἔμπλην· χωρίς. ἐγγύς. πλησίον* | *ἐμοί* Apollon. *ἐμοῦ* Schol. em. B. | *γε* ci. Kai. | *καὶ ἐφόλου (φόλου)* Schol. 𝔈 *καὶ φίλου* Apollon. *κὴφ' ὅλου* Bussemaker *καὶ Φόλου* (Centauri) Schnw. *κὠφόλου (κὠφόλεω)* ci. B. *κὴφ' ὁδοῦ* Lasserre l. c. 12 coll. fabula Babr. 103 an *κἀφόδου* ab *ὁ ἔφοδος* (Xenoph. Cyr. 8, 6, 16 Pol. 6, 36, 6)? cf. H. G. Viljoen Cl Quart. 31 (1937), 53 || **101** *λείωι* Phot. 𝔈 em. B. ex Apollon. | cf. Hesych. s. *λείως* || **102** singula em. Schnw. et B. || **3** ad *ὀτρ.* cf. Herodian. II 480, 11 L. Phot. 355, 24 Schol. Hom. Town. *N* 291 et Eust. in Il. 1003, 60 *ἀδηφάγου κήλωνος ὀτρυγηφάγου* | adde *ἀτρυγηγάφος* (Hesych.) et *τρυγηφάγος* (Plut.) || **103** cf. 66, 1 D. 153 B.⁴ et Plut. an seni sit res p. ger. 12 p. 790cd (Wil.¹); cf. Bowra Cl Quart. 34 (1940), 26ss || **104** cf. Hor. epod. 14. 15 carm. 1, 28 et Wil. Gl. 1, 373³ || **1** s aliter Ar. eccles. 956s *ἄτοπος δ' ἔγκειταί μοί τις πόθος* cf. 118

101. (112) λείως γὰρ οὐδὲν ἐφρόνεον

102. (97) ἡ δέ οἱ σάθη
ὥς εἴ τ' ὄνου Πριηνέος
κήλωνος ἐπλήμυρεν ὀτρυγηφάγου.

103. (118) πόλλ' οἶδ' ἀλώπηξ, ἀλλ' ἐχῖνος ἓν μέγα.

104. (84) δύστηνος ἔγκειμαι πόθωι

101 Phot. 218, 3 *λεωκόρητος· ἐξωλοθρευμένος· τὸ γὰρ λέως ἐστὶ τελέως· Ἀρχίλοχος·* [1] | cf. Apollon. Dysc. pron. 73c. 74a p. 58 Schn. *ὑπὲρ τοῦ οὖν μὴ πλεονάζειν λεκτέον. αἱ διάλεκτοι καὶ ἀφαιροῦσι καὶ πλεονάζουσιν·... 'τελέως λέως'* || **102** Et. Sorb. ap. Gaisf. p. 166, 21 adn. *Ἀρχίλοχος· οἱ δὲ οἱ σάθϱ ὅσητ' ὄνου κόλωνος ὀτρυγηφάγου* (eadem etiam magis corrupta leguntur in codic. Par. 2636, Bruxell., Anecd. Par. ed. Cram. 4, 61, 26) + Evst. in Od. 1597, 28 *κήλων μὲν πεποίηται ἀπὸ τῶν ὀχευτῶν ὄνων· Ἀρχίλοχος· ὥστ' ὄνου Πριηνέως κήλωνος ἐπλήμυρον* + Et. Magn. 167, 25 *τρύγη δέ ἐστιν ὁ Δημητριακὸς καρπός, ὥσπερ ὄν. κήλ. ὀτρυγηφάγου ἀντὶ τοῦ κριθοφάγου κατὰ πλεονασμὸν τοῦ 'ο', ὡς ἐπὶ τοῦ κρυόεις ὀκρυόεις· ὡς παρὰ Ἀρχιλόχωι.* cf. ibid. 271, 28 not. cod. V || **1** Hesych. *σάθη· τὰ ἀνδρεῖα ἀναγκαῖα* || **3** Hesych. *κήλων·... ὁ ὀχευτής* | Hesych. *ὀτρυγηφάγου· περιττὸν τὸ 'ο'. 'τρύγη' γὰρ ὁ σῖτος καὶ ὁ χόρτος ἀτρυγηφάγου· πολυφάγου. 'τρύγη' γὰρ ὁ Δημητριακὸς καρπός* || **103** Zenob. 5, 68 [1]· *μέμνηται ταύτης (τῆς παροιμίας) Ἀρχίλοχος ἐν ἐπωιδῆι· γράφει δὲ καὶ Ὅμηρος* (i. *Μαργίτης*) *τὸν στίχον· φησὶ δὲ καὶ Ἴων ὁ τραγικός* [fr. 81 v. Blum.]. *λέγεται δὲ ἡ παροιμία ἐπὶ τῶν πανουργοτάτων* | Plvt. sollert. anim. 16 p. 971f *τῶν δὲ χερσαίων ἐχίνων ἡ μὲν ὑπὲρ αὑτῶν ἄμυνα καὶ φυλακὴ παροιμίαν πεποίηκε* [1]· *προσιούσης γὰρ αὐτῆς, ὥς φησιν ὁ Ἴων·* [fr. 81 v. Blum.] sed Io erinacei artem sugillat || **104** Stob. 4, 20 (*π. Ἀφροδίτης*), 45 p. 460 H. [SMA] *Ἀρχιλόχου·* [1—3]

ἄψυχος, χαλεπῆισι θεῶν ὀδύνηισιν ἕκητι
πεπαρμένος δι' ὀστέων.

105. (98) *φαινόμενον κακὸν οἴκαδ' ἄγεσθαι*

106. *κηλ[εῖ]ται δ' ὅτις [ἐστὶ]ν ἀοιδαῖς.*

ΤΕΤΡΑΜΕΤΡΑ

(*ΑΣΥΝΑΡΤΗΤΑ*)

107. (79) *Ἐρασμονίδη Χαρίλαε, χρῆμά τοι γελοῖον*
ἐρέω, πολὺ φίλταθ' ἑταίρων, τέρψεαι δ' ἀκούων.

105 Hepaest. 7, 2 p. 21 C. *τὸ τετράμετρον* (*δακτυλικὸν*) *εἰς δισύλλαβον καταληκτικόν, ὧι πρῶτος μὲν ἐχρήσατο Ἀρχίλοχος ἐν Ἐπωιδοῖς·* [1] | cf. Schol. Heph. p. 273, 4 C. ‖ **106** Pap. Philodem. de mus. p. 20, 32ss K. . . . *τὸ μέλος καὶ|[στάσεων κ]αὶ ταραχῶν εἶ|[ναι κ]ατα[πα]υστικόν, ὡς ἐπὶ [τῶν ἀνθρώπω]ν καὶ τῶν ζώι|[ων φαίν]εσθαι καπαπραϋνο|[μένω]ν. διὸ καὶ τὸν Ἀρχίλο[χον λ]έγειν·* [1] ‖ **107—110** Hephaest. 15, 2 p. 47 C. *πρῶτος δὲ καὶ τούτοις* (*τοῖς ἀσυναρτήτοις*) *Ἀρχίλοχος κέχρηται· πῆ μὲν γὰρ ἐποίησεν ἔκ τε ἀναπαιστικοῦ ἑφθημιμεροῦς καὶ τροχαϊκοῦ ἡμιολίου τοῦ καλουμένου ἰθυφαλλικοῦ·* [107, 1]. *τοῦτο δὲ οἱ μετ' αὐτὸν οὐχ ὁμοίως αὐτῶι ἔγραψαν. οὗτος μὲν γὰρ τῆι τε τομῆι δι' ὅλου κέχρηται* ⟦*τοῦ ἑφθημιμεροῦς*⟧ *καὶ σπονδείους παρέλαβεν ἐν τῶι ἀναπαιστικῶι κώλωι οἷον·* [109] cf. ibid. 4 p. 48 [107, 1 *Ἐρ. Χ.*]. 5 p. 49 [109 *ἀστ.—κατόπ.*] 15, 6 p. 49 *ὑπονοήσειε δ' ἄν τις καὶ τρίτην διαφορὰν εἶναι τῶι Ἀρχιλόχωι πρὸς τοὺς μετ' αὐτόν, καθ' ἣν ἀναπαίστωι δοκεῖ τῶι πρώτωι χρῆσθαι·* [107, 2. 108], *ὧι οὐκ ἐχρήσαντο ἐκεῖνοι* 8, 7 p. 27 C. *πρῶτος δὲ Ἀρχίλοχος ἐχρήσατο τῶι μεγέθει τούτωι* (*τῶι διμέτρωι ἀναπαιστικῶι καταληκτικῶι*) *ἐν τοῖς Τετραμέτροις προτάξας αὐτὸ τοῦ ἰθυφαλλικοῦ· τὸ γὰρ 'Ἐρ. Χ.' ἑφθημιμερές ἐστιν ἀναπαιστικόν· ἐχρήσατο δὲ τῶι πρώτωι ποδὶ καὶ*

2 Hom. hymn. Apoll. 358 *ὀδ. . . . χαλ.* ‖ **2s** *Ε* 399 *ὀδ. πεπ.* ‖ **3** cf. Hesych. s. *πέπαρμαι* et *πεπαρμένον* ‖ **105s** cf. Hor. epod. 12 et carm. 1, 7 ‖ **105** hoc versu, qui fuit ex auctoritate Hephaestionis (cf. Sn. Phil. 96 [1944], 284) alter epodi cuiusdam, agi videtur de coniuge ducenda cf. *Γ* 404 *στυγερὴν ἐμὲ οἴκ. ἄγ.* (sim. Hom. hymn. 6, 17 *Γ* 72. 93 al.) contulit Friedl. Hesiodi Pandoram op. 81s et 89; Lasserre l. c. 14 Hor. epod. 12, 2s ‖ **106** Eur. Alc. 359 *ὕμνοισι κηλήσαντα* Plat. Lys. 206b *ὠιδαῖς . . . κηλεῖν* | ad rem cf. Pind. Pyth. 1, 1ss ‖ **107** cf. Catull. 56 ‖ **1** vituperat Cratin. ap. Hephaest. 15, 7 p. 49 C. *Κρατῖνος δὲ ὅταν λέγηι ἐν τοῖς Ἀρχιλόχοις* [fr. 10 I 15 K.]· '*Ἐρ. Βάθιππε*' ‖ **2** *ω* 517 *π. φ. ἑ.* et *Α* 474 *τέρπετ' ἀκούων* (sim. *ϑ* 368 al.)

108. (80) *φιλεῖν στυγνόν περ ἐόντα, μὴ δὲ διαλέγεσθαι*

109. (81) *ἀστῶν δ' οἳ μὲν κατόπισθεν ἦισαν, οἱ δὲ πολλοί*

110. (82) *Δήμητρί τε χεῖρας ἀνέξων*

111. (83) *ἕωθεν ἕκαστος ἔπινεν· ἐν δὲ βακχίηι⟨σιν⟩*

---

112. (103) *τοῖος γὰρ φιλότητος ἔρως ὑπὸ καρδίην ἐλυσθείς*
πολλὴν κατ' ἀχλὺν ὀμμάτων ἔχευεν
κλέψας ἐκ στηθέων ἁπαλὰς φρένας. – ᴗ – ᴗ – ᴗ̄

ἰάμβωι . . . καὶ σπονδείωι [110], *ἀναπαίστωι δὲ τῶι πρώτωι ἐπὶ δύο μόνων στίχων κεχρῆσθαι δοκεῖ·* [107, 2—*ἑτ.*] *καί·* [108—*ἐόντα*]· *ταῦτα δὲ ἀμφότερα κατὰ συνεκφώνησιν ἴαμβον ἔχει τὸν πρῶτον πόδα* | ad *Ἐρ. Χ.* cf. Schol. Pind. Pyth. 9 p. 220 Dr. et 12 p. 263 Dr. argum. metr. | rei mentionem facit Athen. 10, 415d *Ἀρχίλοχος δ' ἐν Τετραμέτροις Χαρίλαν εἰς τὰ ὅμοια διαβέβληκεν, ὡς οἱ κωμωιδιοποιοὶ Κλεώνυμον καὶ Πείσανδρον* (cf. Eust. in Od. 1630, 4 Ael. var. hist. 1, 27) ‖ **111** Gramm. Hamburg. ap. Welcker opusc. 4, 50s Schnw. Phil. 10 (1855), 350 (cf. Lexic. Vindob. ed. Nauck p. 269) *τὰ παρὰ τῆι γραφῆι διαφορούμενά εἰσι ταῦτα· ἀργειφόντης . . . ἀργιφόντα· εἴκελος . . . καὶ τὸ ἴκελος . . . βακχεῖα* (vel *βακχεῖα*) *καί·* [1] *Ἀρχίλοχος. ὀρθογραφία ταῦτα* ‖ **112** Stob. 4, 20 (*π. Ἀφροδίτης*), 43 p. 459 H [SMA] *Ἀρχιλόχου·* [1—3]

108 *φιλέειν* ℭ defendit Muenscher H. 54 (1919), 30: optimo iure negant Wil. alii, cf. J. W. Koster Museum 44 (1937), 283 ‖ **109** *ἦσαν* ℭ explic. Mein., non probat Wil.[1] ‖ **110** *Διὶ χεῖρας ἀνασχών* sim. Hom. passim | ad rem cf. Kern RE IV 2722s ‖ **111** *ἔξωθεν* et *βακχίη* ℭ em. B. | Eur. Bacch. 218 *πλασταῖσι βακχείαισιν*, idem *ἡ βακχεία* Hesych. *βακχίη· μανία* | an *Βακχ-*? Kern | iure eidem tribuit carmini B. atque fr. quae praecedunt ‖ **112** ad metrum cf. Hor. carm. 1, 4 (cuius carminis systema metricum ab epodis alienum est) Antigenen (= Simonid. 148 B.[4]) et Muenscher H. 54 (1919), 36s Schrö. Grundr. 54. 151 | hos versus ei carmini tribuit Sn. (Phil. 96 [1944] 283s) quod a fragmentis 113. 114 incipere cognovit, Hephaestionis versus adferendi more nisus ‖ **1** *τοῖως* M[1] | *ι* 433 *ὑπὸ γαστέρ' ἐλυσθείς* (*τοῦ ἀρνειοῦ Ὀδυσσεύς*) | ad *ἐλ.* cf. Hesych. s. v. ‖ **2** *πολὺν* SM | *Υ* 321 *κατ' ὀφθαλμῶν χέεν ἀχλύν* sim. al. | ad *ἀχλ.* cf. Hesych. s. v. ‖ **3** *Λ* 115 *ἁπαλόν τέ σφ' ἦτορ ἀπηύρα* (*λέων ἐλάφοιο*) | praeter necessitatem *ἀταλὰς* ci. Mein. ex *Ζ* 400 *ἀταλόφρονα* cf. *Σ* 567 Hom. hymn. Cer. 24

113. (100) *Οὐκέθ' ὁμῶς θάλλεις ἁπαλὸν χρόα· κάρφεται γὰρ ἤδη*

114. (116) *ὄγμος, κακοῦ δὲ γήραος καθαιρεῖ*

115. (101) *πολλὰς δὲ τυφλὰς ἐγχέλυας ἐδέξω*

116. (115) *καὶ βήσσας ὀρέων δυσπαιπάλους, οἷος ἦν ἐπ' ἥβης*

---

117. (114) *πεντήκοντ' ἀνδρῶν λίπε Κοίρανον ἤπιος Ποσειδῶν.*

---

113 Hephaest. 6, 3 p. 19 C. *ἔστι δὲ ἐν αὐτῶι (τῶι τροχαϊκῶι) ἐπίσημον καὶ τὸ δίμετρον βραχυκατάληκτον, τὸ καλούμενον ἰθυφαλλικόν· ὧι πρῶτος μὲν Ἀρχίλοχος κέχρηται συζεύξας αὐτὸ δακτυλικῶι τετραμέτρωι οὕτως·* [1] 7, 4 p. 22 C. *καὶ τῶν ἀκαταλήκτων (δακτυλικῶν) δὲ τὸ τετράμετρον Ἀρχίλοχος ἔνδοξον ἐποίησε διὰ τὸ προτάξαι αὐτὸ τροχαϊκοῦ τοῦ καλουμένου ἰθυφαλλικοῦ οὕτως·* [1] 15, 8 p. 50 C. *ἄλλο δὲ (ἀσυνάρτητον) τὸ ἐκ δακτυλικῆς τετραποδίας καὶ τοῦ αὐτοῦ ἰθυφαλλικοῦ* [1]. *γίνεται δὲ ὁ τελευταῖος τῆς τετραποδίας διὰ τὴν ἐπὶ τέλους ἀδιάφορον καὶ κρητικός·* [116] | cf. Schol. Hephaest. p. 123, 25ss 270, 12ss 273, 7ss C. | Hesych. *κάρφεται· ξηραίνεται* || **114** Hephaest. 5, 3 p. 16 C. *τρίμετρον δὲ (ἰαμβικὸν καταληκτικὸν) οἷον τὸ Ἀρχιλόχου·* [1] || **115** Athen. 7, 299^a *Ὁμήρου δὲ εἰπόντος* [*Φ* 353]· *'τείροντ' ἐγχέλυές τε καὶ ἰχθύες' ἀκολούθως ἐποίησε καὶ Ἀρχίλοχος·* [1] || **116** Hephaest. 15, 8 p. 50 C. cf. fr. 113 || **117** Plut. sollert. animal. 36 p. 984^f *Κοίρανος . . . Πάριος γὰρ ὢν τὸ γένος ἐν Βυζαντίωι δελφίνων βόλον*

113s 116 cf. Schadewaldt Ant. 9 (1933), 293 || **113** Hom. hymn. Ven. 14 *ἁπαλόχροας* Hes. op. 519 *ἁπαλόχροος* | *ν* 398 *κάρψω μὲν χρόα καλόν* (430) || **114** superiori subiunxit fragmento Elmsley, quibus a versibus carmen exordium cepisse censet Sn. (cf. Phil. 96, 1944, 283), qui ad argumentum contulit Hor. epod. 8, 4 cum adnot. Heinzii | ad *ὄγ.* cf. *Λ* 68 *Σ* 552. 557. 546 | *ὄγμοις* ci. Sn., ita ut cutis victa fiat rugis | *σε* ci. Hi. || **115** ex eodem carmine haustum esse versum censet B. | *ἐγχέλυς* Wil. H. 59 (1924), 271 || **116** *οὔρεος ἐν βήσσηις* sim. Hom. Hes. passim | *N* 17 *ἐξ ὄρεος . . . παιπαλόεντος* cf. *P* 743 | *δυσπαιπάλος* Schrö. Maas alii cf. Hesych. s. *δυσπαίπαλον* | cf. *δυσοδοπαίπαλος* (Aesch. Eum. 387) et *πολυπαίπαλος* (*ο* 419) | *δυσπαίπαλά θ'* Sitz. PhW. 1926, 1042 ex Callim. hymn. in Dian. 194 *παίπαλά τε κρήμνους τε* et Schol. Ar. nub. 260 *παίπαλα καλοῦμεν τὰ τῶν ὀρέων δύσβατα*: omnes contra Hephaestionem | vide an eiusdem sint carminis fr. 112—116 (quae ex asynartetis expelli contra Hephaestionis fidem vix possunt): nunc senex olim amore captus iuvenis venator per invia et densa silvarum vagatus est || **117** cf. ad 51 I A 10ss 19ss | imitatur poeta ap. Arist. sophist. elench. 4 p. 162a 37 *πεντήκοντ' ἀ. ἑκατὸν λίπε δῖος Ἀχιλλεύς* |

118. (85) *ἀλλά μ' ὁ λυσιμελής, ὦ 'ταῖρε, δάμναται πόθος.*

ΙΟΒΑΚΧΟΙ

119. (120) *Δήμητρος ἁγνῆς καὶ Κόρης τὴν πανήγυριν σέβων*

ΥΜΝΟΣ ΕΙΣ ΗΡΑΚΛΕΑ ΚΑΙ ΙΟΛΑΟΝ

120. (119) *Τήνελλα*
ὦ καλλίνικε χαῖρ' ἄναξ Ἡράκλεες,

ἐνσχεθέντων σαγήνηι καὶ κινδυνευόντων κατακοπῆναι πριάμενος μεθῆκε πάντας. ὀλίγωι δὲ ὕστερον ἔπλει πεντηκόντορον ἔχων, ὥς φασι, Μιλησίων (*λῃστῶν* 𝔈 em. Hi. v. G.) *ἄνδρας ἄγουσαν. ἐν δὲ τῶι μεταξὺ Νάξου καὶ Πάρου πορθμῶι τῆς νεὼς ἀνατραπείσης καὶ τῶν ἄλλων διαφθαρέντων ἐκεῖνον λέγουσι δελφῖνος ὑποδραμόντος αὐτῶι καὶ ἀνακουφίζοντος ἐξενεχθῆναι τῆς Κύνθου* (*σικύνθου* 𝔈 em. Hi. v. G. *Σικίνου* Rei.) *κατὰ σπήλαιον, ὃ δείκνυται μέχρι νῦν καὶ καλεῖται Κοιράνειον. ἐπὶ τούτωι δὲ λέγεται ποιῆσαι τὸν Ἀρχίλοχον·* [1] | ad rem cf. IG XII 5, 210 conl. p. 314 add. ad n. 390 et tabulam Pari urbis et viciniae ibid. p. XXVI (Hi. v. G.) || **118** Hephaest. 15, 9 p. 50 C. *τρίτον δέ ἐστι παρὰ Ἀρχιλόχωι ἀσυνάρτητον ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου·* [1] || **119** Hephaest. 15, 16 p. 52s C. *ἄλλο ἀσυνάρτητον . . . ἐξ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου καὶ τροχαϊκοῦ ἐφθημιμεροῦς, τοῦ καλουμένου Εὐριπιδείου, οἷόν ἐστι τὸ ἐν τοῖς ἀναφερομένοις εἰς Ἀρχίλοχον Ἰοβάκχοις·* [1] || **120** Pind. Ol.

ἵππιος cod. Harl., quae lectio bis commendatur lapide Pario l. c. | *Ποσειδέων* Schnw. || **118** 'sec. vers. epod.' Sn. (coll. Hephaest.) | epodus eiusdem fort. metri fuit atque Hor. epod. 11, cuius v. 2 *amore percussum gravi* huc videtur redire | ad rem v. 20 cum adn. | *λυσιτελὴς* libri boni | Hes. theog. 120ss *Ἔρος . . . λυσιμελὴς . . . δάμναται . . . νόον* *Ξ* 198s *ὧι τε σὺ (ἱμέρωι Ἀφροδίτη) πάντας δάμνασαι ἀθανάτους ἠδὲ θνητοὺς ἀνθρώπους*. cf. Hesych. s. *δάμναται* et 104 et Sapph. 137, 1 cum adn. || **119** cf. 121 $B.^4$ Schol. Ar. av. 1764 (fr. 120) Hom. hymn. Cer. 492 Kern RE IV 2722ss Wil. Versk. 286, 4 Gl. 1, 292^2 2, 76^2 | ad metrum v. Muenscher H. 54 (1919), 41s 62 (1927) 173 Schrö. Grundr. 53 | Hes. op. 465 *Δημήτερί θ' ἁγνῆι* IG XII 1, 780 (Lindi), 2 *Δημήτερος ἁγνῆς*. cf. Hom. hymn. Cer. 203 || **120** Eratosthenis auctoritatem restituit Wil. Versk. 286, 4 | Heraclis hymnum a Pario poeta omnino alienum esse censet Schrö. cf. H. 69 (1934), 352 et ad rem Von der Muehll Der Große Aias (Basil. 1930) p. 32, 78 (Boelte) || **1** *ὦ* exhibet Schol. Pind. 1k (Eratosth.) || **2. 6** de *Καλλίνικος*, Herculis cognomine, cf. RE X 1650ss | *ἠράκλεις* 𝔈 fere ubique excepto excerpto Eratosthenis (Schol. 1k)

τήνελλα καλλίνικε
αὐτός τε καὶ Ἰόλαος, αἰχμητὰ δύο.
τήνελλα
ὦ καλλίνικε χαῖρ' ἄναξ Ἡράκλεες.

9, 1ss *τὸ μὲν Ἀρχιλόχου μέλος φωνᾶεν Ὀλυμπίαι καλλίνικος ὁ τριπλόος κεχλαδὼς ἄρκεσε Κρόνιον παρ' ὄχθον ἀγεμονεῦσαι κωμάζοντι φίλοις Ἐφαρμόστωι σὺν ἑταίροις* | Schol. ad l. p. 266 Dr. 1a *Ἀρχίλοχος ἐλθὼν εἰς Ὀλυμπίαν μέλος ἐποίησεν εἰς Ἡρακλέα ἔχον οὕτως·* [1. 2. 4 omissa *ὦ*] ... 1c *Ἀρχίλοχος τῶι Ἡρακλεῖ ὕμνον ⟨ποιήσας⟩ ἀπορήσας κιθαρωιδοῦ διά τινος λέξεως τὸ μέλος ἐμιμήσατο. συντάξας οὖν τοῦτο τὸ κόμμα 'τήνελλα', οὕτως τὰ ἑξῆς ἀνεβάλλετο, καὶ αὐτὸς μὲν τὸ μέλος τῆς κιθάρας ἐν μέσωι τῶι χορῶι ἔλεγε, τὸ 'τήνελλα', ὁ δὲ χορὸς τὰ ἐπίλοιπα.... τὸ δὲ ὅλον οὕτως·* [1. 2. 4—6 om. *ὦ*] p. 268 schol. 1k *τὸ δὲ 'τριπλόος', ὅτι τρὶς ἐπεκελάδουν τὸ καλλίνικε. οὐ καθόλου δὲ τρίς, ἀλλ' ὅτι τριπλῆν ἔχει τὴν στροφὴν καὶ πάλιν ἀναλαμβάνεται. Ἐρατοσθένης δέ φησι μὴ ἐπινίκιον εἶναι τὸ Ἀρχιλόχου μέλος, ἀλλ' ὕμνον εἰς Ἡρακλέα· τριπλόον δὲ οὐ διὰ τὸ ἐκ τριῶν στροφῶν συγκεῖσθαι, ἀλλὰ διὰ τὸ τρὶς ἐφυμνιάζεσθαι τὸ 'καλλίνικε'. περὶ δὲ τοῦ 'τήνελλα' Ἐρατοσθένης φησίν, ὅτι, ὅτε ὁ αὐλητὴς ἢ ὁ κιθαριστὴς μὴ παρῇν, ὁ ἔξαρχος αὐτὸ μεταλαβὼν ἔλεγεν ἔξω τοῦ μέλους, ὁ δὲ τῶν κωμαστῶν χορὸς ἐπέβαλλε τὸ 'καλλίνικε' καὶ οὕτω συνειρόμενον γέγονε τὸ 'τήνελλα καλλίνικε'. ἡ δὲ ἀρχὴ τοῦ μέλους ἐστίν· ὦ καλλ.* [2] | Ar. av. 1763 *ἀλαλαί, ἰὴ Παιών, τήνελλα καλλίνικος, ὦ δαιμόνων ὑπέρτατε* | Schol. Rav. ad l. *τὸ 'τήνελλα' μίμησίς ἐστι φωνῆς κρούματος αὐλοῦ ποιᾶς ἀπὸ τοῦ ἐφυμνίου, οὗ εἶπεν Ἀρχίλοχος εἰς τὸν Ἡρακλέα μετὰ τὸν ἆθλον αὐτοῦ* [1. 2. 4 omissa *ὦ*]. *δοκεῖ πρῶτος Ἀρχίλοχος νικήσας ἐν Πάρωι τὸν Δήμητρος ὕμνον* [119] *ἑαυτῶι τοῦτο ἐπιπεφωνηκέναι* | Ar. Ach. 1227ss ludit *τήνελλα καλλίνικος* variis modis | cf. Schol. ad l. Schol. Pind. Nem. 3, 1 Tzetz. chil. 1, 690s [1. 2. 4 om. *ὦ*] Svid. s. v. *τήνελλα* | Hesych. *τήνεβλα· τὰ ἐφύμνια ἀιδόμενα τοῖς νικῶσι* cf. Callim. Sosib. Pap. Oxyrh. vol. XV 1793 col. 8, 4 *Ἀρχιλόχου νικαῖον ἐφύμνιον.*

4 *τε*] *δὲ* schol. Ar. | *H* 281 *ἄμφω δ' αἰχμητά (Αἴας καὶ Ἕκτωρ)* | *δύο (δύω)* libri plerique | *δὲ* schol. Ar.[1] om. cod. Rav. || **5** s exhibet Schol. Pind. 1c om. *ὦ*

ΣΗΜΩΝΙΔΗΣ Ο ΑΜΟΡΓΙΝΟΣ

ΙΑΜΒΟΙ

1. (1) *Ὦ παῖ, τέλος μὲν Ζεὺς ἔχει βαρύκτυπος*
πάντων ὅσ' ἐστὶ καὶ τίθησ' ὅκηι θέλει.
νόος δ' οὐκ ἐπ' ἀνθρώποισιν· ἀλλ' ἐφήμεροι
ἃ δὴ βοτὰ ζόωμεν οὐδὲν εἰδότες,

1 Stob. 4, 34 (*π. τοῦ βίου ὅτι βραχὺς κτλ.*), 15 p. 829 H. [**S M A**] *Σιμωνίδου* (*τοῦ αὐτοῦ* **S**)· [1—24]

de Semonide Amorgino v. Schmid-Stählin I 1 (1929), 397ss Geffck. GrLG I 74 Anm. p. 81s Maas RE III A 184ss Be. Gr. Dichtung 78 Wil. Gl. 1, 293[1]. 349. 2, 115 Kern Rel. 2, 58ss Kr. GrLG 56 Maria Pizzagalli Poeti iudiani emuli di Simonide Amorgino Rendic. d. Istit. Lombardo 67 (1934), 918ss

ad tit. cf. 6. 8s 14. 16. 23. 28, ad legem Porsonianam Bill Beiträge zur lex Porsoniana (Emsdetten 1932) 40ss || **1** cf. Hes. op. 100ss 175ss Mimn. 2 Sol. 1 explicaverunt Reitz. Phil. 57 (1898), 42ss Wil. SS. 271ss cf. Schadewaldt Ant. 9 (1933), 294ss Gudmund Björck 'Zu S.'s Iamben von der Unzulänglichkeit menschlichen Planens' Symbol. Osloens. 15/16 (1936), 86ss | vertit Die. Der antike Pessimismus (1921), 8s || **1** cf. Archil. 84 | *Z. βαρ.* Hom. hymn. Cer. 3 al. cf. 7, 40 Hes. theog. 388 op. 79 || **1** s cf. Eur. Or. 1545s Wil. Einl. i. d. gr. Tr. 36. 68 Gl. 1, 347 || **2** *τίθησιν* **M** Trinc. | *ὅπη (-ηι)* 𝕮 em. Ahr. *ὅκη* Sp. || **3** *νοῦς* Grot. | an *ἔπ' = ἔπεστιν*? | *ἐφήμεροι* 𝕮 *ἐπήμ-* Grot. | *φ* 85 *ἐφημέρια φρονέοντες* || **3** s *ἐφημέριοι δὴ βροτοὶ ζώομεν* **S** + *αἴδη* (*ἄδηι* **A**) *βοτὰ ζώομεν* **MA** || **4** *ἃ δὴ* Ahr. B. *ἀεὶ* Grot. *αἰεὶ* Mein. *Ἅιδη* Cr. (cf. Pallad. A. P. 10, 85 Plaut. Cas. 158) *ἀδέα* (= *ἀηδέα* cf. Hesych. *ἀδής· ἀτερπής*) *βροτοὶ* (cum cod. Vindob. **S** et Grotio) Björck | *βοτὰ ζώομεν* **MA** choriambum alterius membri iambici loco defendit Wil. (cf. fr. 15. 27) *βοτὰ ζώουσιν* Ahr. Maas *βροτοὶ δὴ ζῶμεν* Grot. *βότ' αἰεὶ ζῶμεν* B. *βότ' οἷα ζῶμεν* Mein. *ἧι δὴ β. ζόωμεν* (cf. 17 *ζόειν*) Allen Rev. Phil. 60 (1934), 238 | *οὐδὲν εἰδότες* in spatio om. **S**

ὅκως ἕκαστον ἐκτελευτήσει θεός.
ἐλπὶς δὲ πάντας κἀπιπειθείη τρέφει
ἄπρηκτον ὁρμαίνοντας· οἳ μὲν ἡμέρην
μένουσιν ἐλθεῖν, οἳ δ᾽ ἐτέων περιτροπάς.
νέωτα δ᾽ οὐδεὶς ὅστις οὐ δοκεῖ βροτῶν
πλούτωι τε κἀγαθοῖσιν ἵξεσθαι φίλος.
φθάνει δὲ τὸν μὲν γῆρας ἄζηλον λαβόν,
πρὶν τέρμ᾽ ἵκηται· τοὺς δὲ δύστηνοι νόσοι
φθείρουσι †θνητῶν· τοὺς δ᾽ Ἄρει δεδμημένους
πέμπει μελαίνης Ἀίδης ὑπὸ χθονός.
οἳ δ᾽ ἐν θαλάσσηι λαίλαπι κλονεύμενοι
καὶ κύμασιν πολλοῖσι πορφυρῆς ἁλός
θνήσκουσιν, εὖτ᾽ ἂν †μὴ δυνήσωνται ζόειν.
οἳ δ᾽ ἀγχόνην ἅψαντο δυστήνωι μόρωι
καὐτάγρετοι λείπουσιν ἡλίου φάος.
οὕτω κακῶν ἄπ᾽ οὐδέν· ἀλλὰ μυρίαι

6 Hesych. *ἐπιπειθείη· ἀναπεισμονῆσα* (i. *ἀναπεισμονή· σα*: vix *Σιμωνίδης α'*) || **7** Hesych. *ἄπρηκτον· ἄπρακτον* || **9** Hesych. *νέωτα· εἰς τὸ ἐπιὸν ἢ νέον ἔτος* || **18** Hesych. *ἀγχόνη· πνιγετός*

5 *ὅπως* **SA^{2}** *ὅμως* **A^{1}** | *ἐκτελευτήσῃ* (*-ηι*) Frob. Gesn. | Pind. Pyth. 12, 29s *ἐκ δὲ τελευτάσει νιν* (*ὄλβον*) . . . *δαίμων* || **6** *ἐπιπειθείη* vox plane singularis cf. *εὐπειθείη, δυσ-, ἀπείθεια* || **7**s *α* 422 *μένον δ᾽ ἐπὶ ἕσπερον ἐλθεῖν* sim. al. || **8** *ὃ δ᾽* **M** | *B* 295 *περιτροπέων ἐνιαυτός* || **9** *νέωτο* **M** | *δοκέει* 𝕮 em. Hi.-Cr. Wil. (cf. 7, 108) | Zenob. 2, 43 *ἀεὶ γεωργὸς εἰς νέωτα πλούσιος* cont. Sn. || **10** *Πλούτωι* W. Klinger Eos 31 (1928), 475s cf. Fr. Hübner De Pluto (Diss. Hal. 23, 3) 246s | *φίλος* 𝕮 defend. Sitz. PhW. 1921, 1054 conlatis Theogn. 621. 929 Soph. fr. 85, 1 Eur. fr. 462, 2 N.^{2} *φίλον* Gesn. *πλέον* B. Hi.; 'an *πέλας*?' Hense; desperat Wil. *βρύων* ? Sn. || **12** *ἱκέσθαι* ci. Sitz. l. c. || **13** *βροτῶν θνητῶν* **A** cf. Wil. SS. 272; an scr. *μορτῶν*? Maas coll. Callim. fr. 467 Pfei. || **14** Archil. 58, 2 *μελαίνηι . . . ἐπὶ χθονί* || **15** *ἐνὶ* **A** | Hesych. *κλονούμενος· ταρασσόμενος* || **16** *Π* 391 *ἐς δ᾽ ἅλα πορφυρέην* || **17** *μὴ δυνήσωνται* (*-σον-* **A**) 𝕮 def. Björck *μη⟨χα⟩νήσωνται* Ahr. *εὖ δυν.* B. *νῆα νήσωνται* (*ζοῆι* vel *ζοῆς*) Sitz. l. c. applaudente W. Klinger l. c. 475ss conl. *I* 279 | *ζώειν* 𝕮 em. Pors. || **18** *ἥψαντο* Maas | ad *δυστ.* cf. Wil. Herakl. 1386, ad rem Cratet. 14 cum adn. || **19** *κ-* **SM** *ἢ* **A** | *αὐτάγετοι* **S** cf. *αὐθαίρετοι* Atticorum | *αὐτάγρετος* sensu passivo *π* 148 (Hom. hymn. Merc. 474. 489) | *Σ* 11 *λείψειν φάος ἠελίοιο* (Hom. hymn. Ven. 272) sim. al. || **20**ss cf. Mimn. 2, 5 fr. eleg. adesp. 5

βροτοῖσι κῆρες κἀνεπίφραστοι δύαι
καὶ πήματ᾽ ἐστίν. εἰ δ᾽ ἐμοὶ πιθοίατο,
οὐκ ἂν κακῶν ἐρῶιμεν οὐδ᾽ ἐπ᾽ ἄλγεσι
κακοῖσ᾽ ἔχοντες θυμὸν αἰκιζοίμεθα.

2. (2) τοῦ μὲν θανόντος οὐκ ἂν ἐνθυμοίμεθα,
εἴ τι φρονοῖμεν, πλεῖον ἡμέρης μιῆς.

3. (3) πολλὸς γὰρ ἧμιν ἐστι τεθνάναι χρόνος,
ζῶμεν δ᾽ ἀριθμῶι παῦρα ⟨παγ⟩κάκως ἔτεα.

4. (4) πάμπαν δ᾽ ἄμωμος οὔ τις οὐδ᾽ ἀκήριος.

5. (5) ἄθηλος ἵππωι πῶλος ὣς ἅμα τρέχει.

2 Stob. 4, 56 (*παρηγορικά*), 5 p. 1124 H. [**SMA**] *Σιμωνίδου·* [1. 2] || **3** Stob. 4, 53 (*σύγκρισις ζωῆς καὶ θανάτου*), 2 p. 1097 H. [**SA**] *Σιμωνίδου·* [1. 2] || **4** Stob. 4, 41 (*ὅτι ἀβέβαιος ἡ τῶν ἀνθρώπων εὐπραξία*), 7 p. 930 H. [**SMA**] *Σιμωνίδου·* [1] || **5** Plvt. prof. in virt. 14 p. 84^{d} *οἷός τ᾽ ἐστὶ κατὰ τὸν Σιμωνίδην ἄθηλος—τρέχειν τῶι ἀγαθῶι μονονουχὶ συμφῦναι γλιχόμενος* | an seni 12 p. 790^{f} *ἄθ.—τρέχει κατὰ Σιμ.* | esu carn. 2, 2 p. 997^{d} virt. mor. 7 p. 446^{e} tuend. san. 24 p. 136^{a} | Plvt. ap. Stob. 4, 50 (*π. γήρως*), 19 p. 1024 H. *Πλουτάρχου·* [fr. 2 vol. 7, 150 Bern.] *νέοις δὲ ζηλωτέον τοὺς γέροντας κατὰ Σιμωνίδην· ἄθηλος—τρέχειν· καθάπερ φησὶν ὁ Πλάτων* [leg. 6, 773^{d}] *ἐπὶ τοῦ μειγνυμένου πρὸς ὕδωρ ἀκράτου μαινόμενον θεὸν ἑτέρωι θεῶι νήφοντι σωφρονίζεσθαι*

21 *δύο* **A** | cf. *ἀπερίφραστος* || **21**s *ξ* 338 *ὄφρ᾽ ἔτι πάγχυ δύης ἐπὶ πῆμα γενοίμην* || **23** explicat Sybel H. 7 (1871), 361s || **2** cf. *T* 228 (Reitz.) Archil. 64 | eidem tribuit iambo atque fr. 1 Reitz. Phil. 57 (1897), 45 | de mortuo ipso vide Heracliti iudicium fr. 96 Die.-Kr.^{5} et CE 974 cum adnot. Buech. (Ps.-Epich. 64 Die.-Kr.^{5}) || **2** *ἡμέρας μιᾶς* 𝕮 em. B. || **3** cf. Simonid. Ceum ap. Stob. 4, 34, 59 *Σιμωνίδης ἐρωτηθεὶς πόσον χρόνον βιώιη 'χρόνον' εἶπεν 'ὀλίγον, ἔτη δὲ πολλά'*. Soph. fr. 518 N.^{2} Catull. 5 || **1** *ἡμῖν* Wil. Sp. | *ἐστι*] *εἰς* (*ἐς*) *τὸ* Grot. Mein. || **2** *κακῶς* 𝕮 suppl. Mein. ⟨*καὶ*⟩ *κακῶς* Welck. | hoc quoque fragmentum a primo iambo alienum non esse censent Wil. et Reitz., qui contulit Leonid. Tar. A. P. 7, 472 Plut. consol. ad Apoll. 17 p. 111. 31 p. 117^{d}ss Sen. consol. ad Marc. 21 || **4** cf. Hesych. s. *ἄμωμος* | *οὐδ᾽*] *οὔτ᾽* Wil. | Schol. *μ* 98 *ἀκήριοι·* . . . *ἄνευ κηρός, ὅ ἐστι θανάτου* interpretatus est Wil. SS. 273, 2 | cf. *ἐπικήριος* (Heraclit. ap. Lucian. vit. auct. 14), *πολυκήριος* | eidem iambo atque 1—3 dedit Reitz. l. c. || **5** *ἄθ.* Ar. Lys. 881s

6. (6) γυναικὸς οὐδὲν χρῆμ' ἀνὴρ ληίζεται
ἐσθλῆς ἄμεινον οὐδὲ ῥίγιον κακῆς.

7. (7) Χωρὶς γυναικὸς θεὸς ἐποίησεν νόον
τὰ πρῶτα. τὴν μὲν ἐξ ὑὸς τανύτριχος,
τῆι πάντ' ἀν' οἶκον βορβόρωι πεφυρμένα
ἄκοσμα κεῖται καὶ κυλίνδεται χαμαί·
αὐτὴ δ' ἄλουτος ἀπλύτοισ' ἐν εἵμασιν
ἐν κοπρίηισιν ἡμένη πιαίνεται.
τὴν δ' ἐξ ἀλιτρῆς θεὸς ἔθηκ' ἀλώπεκος
γυναῖκα πάντων ἴδριν· οὐ δέ μιν κακῶν
λέληθεν οὐδὲν οὐδὲ τῶν ἀμεινόνων·
τὸ μὲν γὰρ αὐτῶν εἶπε πολλάκις κακόν,
τὸ δ' ἐσθλόν· ὀργὴν δ' ἄλλοτ' ἀλλοίην ἔχει.
τὴν δ' ἐκ κυνὸς λιτοργόν, αὐτομήτορα,

6 Clem. Alex. strom. 6, 13, 1s p. 432 St.[2] *Ἡσιόδου δὲ εἰπόντος* [op. 702s]· *'οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληίζετ' ἄμεινον τῆς ἀγαθῆς, τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο' Σιμωνίδης εἶπεν*· [1. 2] (Evseb. praep. ev. 10, 3, 18 p. 466, ubi falso *Σιμωνίδης ἐν τῶι ἑνδεκάτωι, ἐν ἰάμβωι* ci. Wil.[1]) | cf. Anecd. ed. Boiss. 1, 22 *Θεόγνιδος· γ. ἀνὴρ οὐδὲν χρ. λαΐζεται κάλλιον ἐσθλῆς* || **7** Stob. 4, 22 (*π. γάμου, ψόγος γυναικῶν*), 193 p. 561 H. [SMA] *Σιμωνίδου*· [1—118] | cf. Phocylid. 2, ubi cum muliere comparantur canis apis sus equa || **12** Hesych. *λιτουργόν· κακοῦργον*

6 cf. Hes. op. 702s Soph. fr. 621 Eur. fr. 494 N.[2] || **1** *γυναικὸς δ'* L Clem. || **2** *ἄμεινον ἐσθλῆς* Euseb. | cf. Hesych. s. *ῥίγιον* || **7** cf. Phocyl. 2 Hes. theog. 590ss Wil. Herakl. 1[1], 57, 17 Gl. 1, 293[1] W. Marg Der Charakter in der Sprache der frühgriechischen Dichtung (Semon., Hom., Pind.) Diss. Kil. (Würzburg 1938; cf. A. Lesky DLZ 1939, 694ss) L. Radermacher 'Lachen u. Weinen', Wien 1947, 156ss || **1** (et **7**) *Ζεὺς* ci. Maas, *θεὸς* utique monosyllabum Anacreonteor. 24, 7 || **2** Hes. op. 516 *αἶγα . . . τανύτριχα* || **4** *κυλινδεῖται* SMA em. Par. 1985 || **5** *αὔτη* S | *ἄπλυτος* SMA *ἄπλουτος* Trinc. em. Valck. et Gaisf. *ἀπλύτοισιν εἵ.* Wil. | *ειμασιν* S a. corr. *ἱμάσιν* (*ἰ-, ί-*) S e corr. AM, Trinc. | cf. Hesych. *εἵμασιν· ἱματίοις* (v. fr. 19) || **6** *εἱμένη* (*εἰ-*) SM *εἰ μένει* A em. Trinc. || **7** *τῆς δ'* M || **8** *κακον* M || **10** *εἶπε* MA *εἶ* S *εἶναι* Trinc. *αἴθων εἶρε* EMaass | *κακῶν* SM, A[1] a. corr., Trinc. || **11** cf. v. 42 et Hes. op. 483. 824 || **12** *λιτουργόν* Gesn. ex Hesych. (cf. Alc. Pap. Oxyrh. XI 1360, 6, 4 [fr. 40b 4 L.]]τ̣ῑτόεργον) *λίταργον* Wakefield B. | cf. *ἑτερομήτωρ* et *αὐτοπάτωρ* (hoc Orph. hymn. 10, 10)

ἣ πάντ' ἀκοῦσαι, πάντα δ' εἰδέναι θέλει,
πάντηι δὲ παπταίνουσα καὶ πλανωμένη
λέληκεν, ἣν καὶ μηδέν' ἀνθρώπων ὁρᾶι.
παύσειε δ' ἄν μιν οὔτ' ἀπειλήσας ἀνήρ,
οὐδ' εἰ χολωθεὶς ἐξαράξειεν λίθωι
ὀδόντας οὐδ' ἂν μειλίχως μυθεύμενος,
οὐδ' εἰ παρὰ ξείνοισιν ἡμένη τύχηι·
ἀλλ' ἐμπέδως ἄπρηκτον αὑονὴν ἔχει.
τὴν δὲ πλάσαντες γηίνην Ὀλύμπιοι
ἔδωκαν ἀνδρὶ πηρόν· οὔτε γὰρ κακόν
οὔτ' ἐσθλὸν οὐδὲν οἶδε τοιαύτη γυνή·
ἔργων δὲ μοῦνον ἐσθίειν ἐπίσταται.
κοὐδ' ἣν κακὸν χειμῶνα ποιήσηι θεός,
ῥιγῶσα δίφρον ἆσσον ἕλκεται πυρός.
τὴν δ' ἐκ θαλάσσης, ἣ δύ' ἐν φρεσὶν νοεῖ·
τὴν μὲν γελᾶι τε καὶ γέγηθεν ἡμέρην·
ἐπαινέσει μιν ξεῖνος ἐν δόμοισ' ἰδών·
'οὐκ ἔστιν ἄλλη τῆσδε λωίων γυνή
ἐν πᾶσιν ἀνθρώποισιν οὐδὲ καλλίων·'
τὴν δ' οὐκ ἀνεκτὸς οὐδ' ἐν ὀφθαλμοῖσ' ἰδεῖν

15 Hesych. *λέληκε· βοᾶι. φθέγγεται*

14 *μ* 233 *πάντηι παπταίνοντι* sim. al. || **15** *μ* 85 *Σκύλλη . . . λελακυῖα* || **16** *δ' ἄμμιν* SM an *δ' ἄμ μιν?* || **17**s cf. *μ* 422 *σ* 28 Hippon. 71 cum adn. || **18** *οὔτ' ἂν* B. | *Z* 343 *μύθοισι . . . μειλιχίοισι* cf. *K* 288 *ζ* 148 || **19** *εἱμένη* (*εἰ-*) SMA explic. Trinc. | *τύχοι* M, sed cf. Callin. 1, 13 Tyrt. 9, 35 Theogn. 121 || **20** *ἔμπεδος* A | *ἄπρικτον* M | *μ* 223 *ἄπρηκτον ἀνίην* || **21—42** e carmine alio et simili quidem inrepsisse censet Friedl. || **21** cf. Hes. op. 60ss 70ss Kern Rel. 2, 168 || **22** cf. Hesych. s. *πηρόν* || **22**s *Z* 489 al. *οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν* || **24** *ἔργον* A Trinc. || **25** *κοὔτ' ἂν* MA *χ' οταν* S *χ ὥταν* Trinc. *οὐδ' ἣν* Schnw. B. Hi.-Cr. nisi *κὤταν* sufficit | Hes. op. 496 *κακοῦ χειμῶνος* | Xenoph. Hell. 2, 4, 14 *καὶ γὰρ ἐν εὐδίαι χειμῶνα ποιοῦσιν* (*οἱ θεοί*) || **26** *ἄσσον* Jacobsohn Phil. 67 (1908), 345ss (Sp.) | *τ* 506 *ἀσσοτέρω πυρὸς ἕλκετο δίφρον Ὀδυσσεύς* || **27** *δοί'* Haupt *δίχ'* Wil.[1] xe Theogn. 91 et Hom. | *γ* 26 al. *ἐνὶ φρεσὶ σῇισι νοήσεις* cf. *Φ* 386 *π* 73 || **28** *φ* 105 *γελάω καὶ τέρπομαι ἄφρονι θυμῶι* || **29** *κἀπαινέσει* ci. Hi. | *μιν* Valck. et Br. *μὲν* SMA || **30** *λώϊον* SMA em. Gesn. || **31** *καλλίον* M || **32** *K* 118 *Λ* 610 *χρειὼ . . . οὐκέτ' ἀνεκ-*

οὔτ᾽ ἆσσον ἐλθεῖν, ἀλλὰ μαίνεται τότε
ἄπλητον ὥσπερ ἀμφὶ τέκνοισιν κύων,
ἀμείλιχος δὲ πᾶσι κἀποθυμίη
ἐχθροῖσιν ἶσα καὶ φίλοισι γίγνεται·
ὥσπερ θάλασσα πολλάκις μὲν ἀτρεμής
ἕστηκ᾽ ἀπήμων χάρμα ναύτῃσιν μέγα
θέρεος ἐν ὥρῃ, πολλάκις δὲ μαίνεται
βαρυκτύποισι κύμασιν φορευμένη·
ταύτῃ μάλιστ᾽ ἔοικε τοιαύτη γυνή
ὀργήν· φυὴν δὲ πόντος ἀλλοίην ἔχει.
  τὴν δ᾽ †τεσποδιης† καὶ παλιντριβέος ὄνου,
ἣ σύν τ᾽ ἀνάγκῃ σύν τ᾽ ἐνιπῇσιν μόγις
ἔστερξεν †ὧν ἅπαντα κἀπονήσατο
ἀρεστά. τόφρα δ᾽ ἐσθίει μὲν ἐν μυχῷ
προνύξ, προῆμαρ, ἐσθίει δ᾽ ἐπ᾽ ἐσχάρῃ.
ὁμῶς δὲ καὶ πρὸς ἔργον ἀφροδίσιον
ἐλθόντ᾽ ἑταῖρον ὁντινῶν ἐδέξατο.
  τὴν δ᾽ ἐκ γαλῆς δύστηνον οἰζυρὸν γένος·
κείνῃ γὰρ οὔ τι καλὸν οὐδ᾽ ἐπίμερον
πρόσεστιν οὐδὲ τερπνὸν οὐδ᾽ ἐράσμιον.

τός | οὔτ᾽ ἐν Schnw. | κ 385 ἐν ὀφθαλμοῖσιν ἰδέσθαι sim. al. cf. Callin. 1, 20 cum adn. || **33** ἄσσον Jacobsohn Sp. | ρ 303s ἆσσον ... οἷο ἄνακτος ἐλθέμεν || **33**s Hom. hymn. Cer. 83 ἄπλητον ἔχειν χόλον cf. 344 Hes. theog. 315 Ps.-Hes. scut. 268 et de cane υ 14s || **35** cf. Eumel. 1, 1 καταθύμιος, ἐνθύμιος (ν 421), ἐπιθύμιος, προσθύμιος || **37**ss cf. Sol. 11 (cum adn.), ubi comparatur profanum volgus cum mari tranquillo et turbido, Hor. carm. 1, 5, 6ss (de muliere cf. Plaut. Asin. 134) || **37**s Hes. op. 670 πόντος ἀπήμων | Ν 438 ἀτρέμας ἑστάοτα cf. τ 211 || **38** Ω 706 μέγα χάρμα || **39** ϑ. ut η 118 θέρευς bisyllabum || **40** cf. 1, 1 Ζεὺς ... βαρύκτυπος Hes. theog. 818 βαρύκτυπος Ἐννοσίγαιος || **42** φύσιν ci. Nauck | versum del. Schnw. Hi.-Cr. def. Immisch Phil. 49 (1889), 205, 17 | cf. v. 11 || **43** ad παλιντριβής cf. Phot. p. 372 s. v. παλίμβολος || **45** ἔρερξεν M ἔερξεν S vide an recte | ὧν 𝔈 οὖν Gesn.[2] ὧν Gesn.[1] | καὶ πονήσατο SMA κἀπ- Ahr. | post κἀπ. lacunam statuit Hi. praeter necessitatem || **46** ἀρετά, sed ε in corr. M[1] || **47** πανῆμαρ (ν 31), αὐτῆμαρ (γ 311) || **49** ἐλθόνθ᾽ S ἐλθόνδ᾽ MA | ἕτερον M | ὀντινοῦν SMA corr. B. || **51** cf. Archil. 18, 3 οὐ γάρ τι καλὸς χῶρος οὐδ᾽ ἐφίμερος | ἐπίμ. 𝔈 | ἐφίμ. Hes. theog. 132 Ps.-Hes. scut. 15

εὐνῆς δ᾽ ἀληνής ἐστιν ἀφροδισίης,
τὸν δ᾽ ἄνδρα τὸν παρόντα ναυσίῃ διδοῖ.
κλέπτουσα δ᾽ ἔρδει πολλὰ γείτονας κακά,
ἄθυστα δ᾽ ἱρὰ πολλάκις κατεσθίει.
  τὴν δ᾽ ἵππος ἁβρὴ χαιτέεσσ᾽ ἐγείνατο,
ἣ δούλι᾽ ἔργα καὶ δύην περιτρέπει,
κοὔτ᾽ ἂν μύλης ψαύσειεν οὔτε κόσκινον
ἄρειεν οὔτε κόπρον ἐξ οἴκου βάλοι,
οὔτε πρὸς ἰπνὸν ἀσβόλην ἀλευμένη
ἵζοιτ᾽· ἀνάγκῃ δ᾽ ἄνδρα ποιεῖται φίλον.
λοῦται δὲ πάσης ἡμέρης ἄπο ῥύπον
δίς, ἄλλοτε τρὶς καὶ μύροισ᾽ ἀλείφεται·
αἰεὶ δὲ χαίτην ἐκτενισμένην φορεῖ
βαθεῖαν ἀνθέμοισιν ἐσκιασμένην.
καλὸν μὲν ὦν θέημα τοιαύτη γυνή
ἄλλοισι, τῷ δ᾽ ἔχοντι γίγνεται κακόν,
ἢν μή τις ἢ τύραννος ἢ σκηπτοῦχος ᾖ,
ὅστις τοιούτοις θυμὸν ἀγλαΐζεται.
  τὴν δ᾽ ἐκ πιθήκου· τοῦτο δὴ διακριδόν
Ζεὺς ἀνδράσιν μέγιστον ὤπασεν κακόν.

53 HESYCH. ἀληνής· μαινόμενος || **56** ATHEN. 5, 179[d] Σιμωνίδης ἔφη περὶ τῆς ἀκόσμου γυναικός· [56] || **57—70** adfert AEL. hist. an. 16, 24 (cf. 11, 36) || **63** HESYCH. λοῦται· λούεται

53 ἀληνῆς (ἀ-) SMA explic. B. ex Hesych. opp. εὐληνής (Hesych. Et. Magn.) || **54** cf. Phoen. 1, 5 adn. | διδεῖ S δίδει MA em. Trinc. cf. Ι 540 || **56** ἄθυτα Athen. cod. Marc. | ἱερὰ A || **57**ss cf. R. Lattimore AmJPhil. 65 (1944), 172ss || **57** χαιτήεις MA χαιτείης S χαιτήεσσ᾽ (-τάεσσ᾽) Ael. 𝔈 em. Mein. cf. Phocyl. l. c. | ἐγείρατο M || **58** δούλη M | δύην] ἄτην Ael.; ad δ. cf. ξ 215. 338 | παρατρέχει ci. Bothe παρατρέπει Friedl. περιτρέμει Liddle a. Scott alii alia || **61** ἰπνὸν cod. Par. 1985 Ael. ἴπνον MA ἵππον S cf. Hippon. fr. XI | ἄσβολον (cf. Hippon. VII 10 fr. 105 B.[4]) ἀδευμένη Ael. libri plerique || **62** ἵζοντ M || **63** δ᾽ ἑκάστης dubitans Mein. | ῥύπων A Ael. || **64** cf. Archil. 27 || **65** ἀεὶ 𝔈 em. B. || **66**s Hes. theog. 977 Ἀρισταῖος βαθυχαίτης || **67** οὖν 𝔈 em. Mein. | θέαμα Stob. || **68** cf. Ε 63 π 103 Ω 436 Hes. op. 88 || **70** ὃς τοῖς Hercher | τοιοῦτον Ael. 𝔈, unde τοιοῦτον θεσμὸν vel ῥυθμὸν ci. Ahr. et Jacobs || **71**s Ο 107s ἐν ἀθανάτοισι θεοῖσιν κάρτεΐ τε σθένεΐ τε διακριδὸν εἶναι ἄριστος (Ζεύς) | cf. ἀποκριδόν (Ap. Rhod. 2, 15), ἐκ-, ἐπικριδόν (Ap. Rhod. 2, 302)

αἴσχιστα μὲν πρόσωπα· τοιαύτη γυνή
εἶσιν δι' ἄστεος πᾶσιν ἀνθρώποις γέλως·
ἐπ' αὐχένα βραχεῖα κινεῖται μόγις,
ἄπυγος αὐόκωλος. ἆ τάλας ἀνήρ,
ὅστις κακὸν τοιοῦτον ἀγκαλίζεται.
δήνεα δὲ πάντα καὶ τρόπους ἐπίσταται
ὥσπερ πίθηκος οὐδέ οἱ γέλως μέλει·
οὐδ' ἄν τιν' εὖ ἔρξειεν, ἀλλὰ τοῦτ' ὁρᾶι
καὶ τοῦτο πᾶσαν ἡμέρην βουλεύεται,
ὅκως τιν' ὡς μέγιστον ἔρξειεν κακόν.
τὴν δ' ἐκ μελίσσης· τήν τις εὐτυχεῖ λαβών·
κείνηι γὰρ οἴηι μῶμος οὐ προσιζάνει,
θάλλει δ' ὑπ' αὐτῆς κἀπαέξεται βίος.
φίλη δὲ σὺμ φιλεῦντι γηράσκει πόσι
τεκοῦσα καλὸν κοὐνομάκλυτον γένος.
κἀριπρεπὴς μὲν ἐν γυναιξὶ γίγνεται
πάσηισι, θείη δ' ἀμφιδέδρομεν χάρις.
οὐ δ' ἐν γυναιξὶν ἥδεται καθημένη,
ὅκου λέγουσιν ἀφροδισίους λόγους.
τοίας γυναῖκας ἀνδράσιν χαρίζεται
Ζεὺς τὰς ἀρίστας καὶ πολυφραδεστάτας.
⟦τὰ δ' ἄλλα φῦλα ταῦτα μηχανῆι Διός

73ss cf. Thersites *αἴσχιστος ἀνήρ* *B* 212ss et Archil. 88, 3s || **73** *αἴσχετα* **M** || **75** *ἀπ' αὐχένος* ci. Die. *τὸν αὐχένα* Hi. sed cf. Carm. pop. 32, 4s || **76** *ἄσπυγος* **M** | *αὐτόκωλος* ℭ em. B. Haupt | *ἀτάλας* (*ἁ-*) **AS** *ἀτάλης* **M** interpretatus est Grot. Homerici *ἆ δειλέ* sim. memor || **78** *Δ* 361 *ἤπια δήνεα οἶδε* (Hes. theog. 236) || **79** inter 74 et 75 traiecit B. A. van Groningen Mn. 57 (1929), 369s || **80** *τοῦθ'* **A** Trinc. || **82** *ὅπως* **M** *ὅππως* **A** | *τι χ' ὡς* (*τί-*) **SM** *στίχ' ὡς* **A** em. Mein. | Hes. op. 327 *κακὸν ἔρξηι* || **83**ss cf. Hes. theog. 594ss || **84** *β* 86 *μῶμον ἀνάψαι* || **85** *ξ* 65 *θεὸς δ' ἐπὶ ἔργον ἀέξηι* || **86** *συμφιλεῦντι* **S** *συμφολ-* **M** | *πόσει* ℭ em. Hoffmann || **87** cf. W. Haedicke l. c. 39 | *κὠνομάκλυτον* Smith | Hom. hymn. Merc. 59 *γενεὴν ὀνομάκλυτον* cf. *X* 51 || **89** *δ'* om. **S** | *β* 12 al. *θεσπεσίην ... χάριν* | Archil. 35 *αὐλὴν ἕρκος ἀμφιδέδρομεν* Pind. Pyth. 3, 39s *σέλας δ' ἀμφέδραμεν ... Ἁφαίστου* || **91** *οἴκου* **A** || **93** cf. Hes. theog. 494 et *ὀλιγοφραδής* || **94**s spurios esse vidit Jordan, negat Friedl. ('si 83–93 genuini sunt') || **94** *φύλλα* **S** | *I* 130 *φῦλα γυναικῶν* (272) | *ταῦτα*] *φλαῦρα* ci. Friedl. | *μηχανεῖ* **A**

ἔστιν τε πάντα καὶ παρ' ἀνδράσιν μένει.⟧
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησεν κακόν,
γυναῖκας. ἤν τι καὶ δοκέωσιν ὠφελεῖν,
ἔχοντί τοι μάλιστα γίγνεται κακόν·
οὐ γάρ κοτ' εὔφρων ἡμέρην διέρχεται
ἅπασαν, ὅστις σὺν γυναικὶ †πέλεται,
οὐδ' αἶψα λιμὸν οἰκίης ἀπώσεται,
ἐχθρὸν συνοικητῆρα δυσμενέα θεόν.
ἀνὴρ δ' ὅταν μάλιστα θυμηδεῖν δοκῆι
κατ' οἶκον ἢ θεοῦ μοῖραν ἢ (ἀ)νθρώπου χάριν,
εὑροῦσα μῶμον ἐς μάχην κορύσσεται.
ὅκου γυνὴ γάρ ἐστιν, οὐδ' ἐς οἰκίην
ξεῖνον μολόντα προφρόνως δεχοίατο.
ἥτις δέ τοι μάλιστα σωφρονεῖν δοκεῖ,
αὕτη μέγιστα τυγχάνει λωβωμένη·
κεχηνότος γὰρ ἀνδρὸς — οἱ δὲ γείτονες
χαίρουσ' ὁρῶντες καὶ τόν, ὡς ἁμαρτάνει.
τὴν ἣν δ' ἕκαστος αἰνέσει μεμνημένος
γυναῖκα, τὴν δὲ τοὐτέρου μωμήσεται·
ἴσην δ' ἔχοντες μοῖραν οὐ γιγνώσκομεν.
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησεν κακόν
καὶ δεσμὸν ἀμφέθηκεν ἄρρηκτον πέδης,

